Καὶ μὴ μεθῇς τὸν ἄνδρ'. ἐπειδή σοι λαβὴν δέδωκεν. A
Κατεργάσει γὰρ ῥᾳδίως, πλευρὰς ἔχων τοιαύτας.
Κλ. Οὐκ ὦ 'γαθοὶ ταῦτ' ἔστι πω ταύτῃ. μὰ τὸν Ποσειδῶ.
Ἐμοὶ γάρ ἐστ' εἰργασμένον τοιοῦτον ἔργον, ὥστε
Ἁπαξάπαντας τοὺς ἐμοὺς ἐχθροὺς ἐπιστομίζειν,
Ἕως ἂν ᾖ τῶν ἀσπίδων τῶν ἐκ Πύλου τι λοιπόν. B
Ἀλλ. Ἐπίσχες ἐν ταῖς ἀσπίσι. λαβὴν γὰρ ἐνδέδωκας.
Οὐ γάρ σ' ἐχρῆν εἴπερ φιλεῖς τὸν δῆμον, ἐκ προνοίας
Ταύτας ἐᾷν αὐτοῖσι τοῖς πόρπαξιν ἀνατεθῆναι.
Ἀλλ' ἔστι τοῦτ' ὦ Δῆμε μηχάνημ', ἵν' ἢν σὺ βούλῃ
Τὸν ἄνδρα κολάσαι τουτονί, σοὶ τοῦτο μὴ 'γγένηται. C
Ὁρᾷς γὰρ αὐτῷ στῖφος οἷόν ἐστι βυρσοπωλῶν
Νεανιῶν. τούτους δὲ περιοικοῦσι μελιτοπῶλαι
Καὶ τυροπῶλαι. τοῦτο δ' εἰς ἓν ἐστι συγκεκυφός.
Ὥστ' εἰ σὺ βριμήσαιο, καὶ βλέψειας ὀστρακίνδα, D
Νύκτωρ καθαρπάσαντες ἂν τὰς ἀσπίδας, θέοντες
Τὰς εἰσβολὰς τῶν ἀλφίτων ἂν καταλάβοιεν ἡμῶν.

*Et commouendo: modo ne dimittas hominem, tibi ansam*
*Qui præbuit: facile ad nihilum rediges: compage tanta*
*Laterum qui polles.* CL. *ô populares, hæc non ita se habent, non*
*Per Neptunum. Nam tale ego facinus feci, vt meorum*
*Inimicorum omnium os facillimè obturare possim,*
*Donec aliquid scutorum fuerit è Pylo superstes.*
AG. *Reprime te in scutis, quia tu ansam tumultui præbuisti.*
*Neque enim oportebat te (siquidem amas populum) scuta cum ipsis*
*Loris, ex composito, in templis suspendere. Sed vi hi huius,*
*O popule, commentum hoc est: vt, si tu velis in illum*
*Animaduertere, non liceat tibi. Vides enim cateruam*
*Iuuenum coriariorum illi præstò esse: tum propolæ*
*Mellis circùm habitant, atq; caseorum: qui omnes in vnum*
*Conspirant: vt si tu fremas, & videas ostracismum,*
*Illi clàm è templis scuta corripiant noctu: impetumq;*
*Faciant in frumentorum cameras, auferantq; nostra.*

Σχόλια. Λαβήν.] ἀφορμήν. λῆμμα ὡς παλαιστής. Κατεργάσει γάρ.] νικήσεις περιέσῃ αὐτοῦ. Πλευρὰς ἔχων.] σῶμα ἔχων ἰσχυρὸν καὶ στερρότητα. τουτέστιν ἑταιρείαν ἔχων τοιαύτην. Οὐκ ὦ 'γαθοί.] οὐ ταῦτα τοῦτον ἔχει τὸν τρόπον, ὡς ὑμεῖς φατὲ καὶ προσδοκᾶτε. Μὰ τὸν Ποσειδῶ] ὅτι περὶ τειαίνης ἀκούσας εἰπόντων τῶν ἱππέων καὶ σείων καὶ ταράττων, τὸν Ποσειδῶνα ὄμνυσιν. Ἐπιστομίζειν] καταστασιάζειν. ἐπὶ στόμα ἔχειν τῶν κατ' ἐμοῦ. λέγων καὶ διαβάλλων μηδὲ φωνὴν ἐᾶν παριέναι. Τῶν ἀσπίδων τῶν ἐκ Πύλου] πάλιν ὁ Κλέων τὰ περὶ Πύλον θρυλλεῖ καὶ Σφακτηρίαν. καὶ τὰ τῶν αἰχμαλώτων. ἔθος δὲ ἦν, τὰ ἀπὸ τῶν πολεμίων ὅπλα ἐν τοῖς ἱεροῖς ἀνατιθέναι. ἕως οὖν φησιν ἀνάκειται ἀπὸ Πύλου καὶ Σφακτηρίας ὅπλα ἅπερ ἀνέθηκα τοῖς θεοῖς νικήσας, οὐδεὶς τῶν ἐχθρῶν τολμήσει κατ' ἐμοῦ λέγειν. Λαβὴν γὰρ ἐνδέδωκας] κατὰ σεαυτοῦ. ὅτι ἀφορμὴν κατὰ σοῦ κατηγορίας. ἀπὸ δὲ τῶν ἀσπίδων τὴν λαβὴν εἶπεν. Αὐτοῖσι τοῖς πόρπαξι.] σὺν αὐτοῖς ὀχάνοις. πόρπαξ ἐν ᾧ τὴν ἀσπίδα κατέχουσιν ὃ καλεῖται ὄχανος. περιφερὴς δὲ οὖσα ἡ ἀσπὶς ἐκινεῖτο κυκλικῶς διὰ τοῦ πόρπακος. ἀνετίθεσαν δὲ τὰ ἐκ τῶν πολέμων ὅπλα, ἄνευ τῶν ὀχάνων, ἵνα μὴ ἑτοίμως ἔχωσιν αὐτοῖς χρῆσθαι. μηχάνημα δὲ στρατήγημα. πανούργημα. Στῖφος.] σύστημα. τάξις πολεμική. ἢ φάλαγξ. συστροφή. πλῆθος συστάσεων. τοῦτο δὲ ἔτρεφεν ὁ Κλέων, ἵνα ἔχῃ φησὶ συνερχόμενον αὐτῷ πρὸς τὴν πολιτείαν. Συγκεκυφός.] συνελθόν. ἀντὶ τοῦ ὁμονοοῦσιν ἑαυτοῖς καὶ συμπνέουσιν. ἄλλως. ὁμονοοῦν ἀντὶ τοῦ συνελθόντες αὐτῷ συμπνέουσι. βριμήσαιο δέ, ὀργισθείης. βριμᾶσθαι γὰρ τὸ ὀργίζεσθαι καὶ ἀπειλεῖν. παρὰ δέ τισι καὶ τὸ ἦχον ἀποτελεῖν. ὡς τὸ ὑπὸ γὰρ τοῦ πολλαῖς μύλαις βριμωμέναις ὁ τῆς μιᾶς ψόφος ῥᾳδίως ἐλανθάνετο. Ὀστρακίνδα.] ἔστι μὲν ὄνομα παιδιᾶς. θέλει δὲ εἰπεῖν. θελήσεις αὐτὸν ἐξοστρακισθῆναι. ὁ δὲ τρόπος τοιοῦτος τοῦ ἐξοστρακισμοῦ. προεχειροτόνει ὁ δῆμος ὄστρακον εἰσφέρων. καὶ ὅταν δόξῃ, ἐφράττετο σανίσιν ἡ ἀγορά, καὶ κατελείποντο εἴσοδοι δέκα. δι' ὧν εἰσιόντες κατὰ φυλὰς ἐτίθεσαν ὄστρακον, ἐντιθέντες τὴν ἐπιγραφήν. ἐπεστάτουν δέ, οἵ τε θ' ἄρχοντες, καὶ ἡ βουλή. ἀριθμηθέντων δέ, ὧν πλεῖστα γένοιτο καὶ μὴ ἐλάττω ἑξακισχιλίων, τοῦτον ἔδει ἐν δέκα ἡμέραις μεταστῆναι τῆς πόλεως. εἰ δὲ μὴ γένοιτο ἑξακισχίλια, οὐ μεθίστατο. οὐ μόνον δὲ Ἀθηναῖοι ὠστρακοφόρουν, ἀλλὰ καὶ Ἀργεῖοι καὶ Μιλήσιοι, καὶ Μεγαρεῖς. σχεδὸν δέ, οἱ χαριέστατοι πάντες, ὠστρακίσθησαν. Ἀριστείδης. Κίμων, τῇ ἀδελφῇ Ἐλπινίκῃ συγκοιμηθεὶς καὶ διαβληθεὶς πρὸς τοὺς πολίτας. Θεμιστοκλῆς. Θουκυδίδης. Ἀλκιβιάδης. μέχρι δὲ Ὑπερβόλου ὀστρακισμὸς προελθών, ἐπ' αὐτοῦ κατελύθη, μὴ ὑπακούσαντος τοῦ νόμου διὰ τὴν ἀσθένειαν τὴν γεγενημένην τοῖς Ἀθηναίων πράγμασιν ὕστερον. παροξύνουσι δὲ ὀλεῖ τὸ ὀστρακίνδα καὶ πάντα τὰ τοιαῦτα ἐπὶ παιδιᾶς τασσόμενα. διαφέρει δὲ φυγῆς ὀστρακισμός. ὅτι τῶν μὲν φυγῆς ἁλόντων αἱ οὐσίαι δημεύονται. τῶν δὲ ὀστρακισμῷ ἀποστάντων οὐκ ἀφαιρεῖται τὰ χρήματα ὁ δῆμος. καὶ τοῖς μὲν χρόνος ἐνδείκνυται καὶ τόπος. οἱ δὲ φεύγοντες οὐδέτερον τούτων ἔχουσιν. οἱ κακονούστατοι δὲ τῷ δήμῳ δοκοῦντες ἐξωστρακίζοντο καὶ κατεδικάζοντο. ὀστράκοις γὰρ ἐγράφετο τὸ ὄνομα τοῦ φευξομένου. Εἰσβολάς.] τὰ σιτοφυλάκια. τὰς ἀποθήκας καταλάβοιεν φάσκοντες. ἢ εἰσβολὰς ὡσεὶ ἔλεγε τῆς χώρας. εἰσβολὰς δὲ ἔλεγον τοὺς τόπους δι' ὧν εἰσέβαλλον οἱ πολέμιοι.